## ΥΠΟΘΕϹΙϹ ΙΦΙΓΕΝΕΙΑϹ ΤΗϹ ΕΝ ΤΑΥΡΟΙϹ

Ὀρέϲτηϲ κατὰ χρηϲμὸν ἐλθὼν εἰϲ Ταύρουϲ τῆϲ Ϲκυθίαϲ μετὰ Πυλάδου παραγενηθεὶϲ τὸ παρ' αὐτοῖϲ τιμώμενον τῆϲ Ἀρτέμιδοϲ ξόανον ὑφελέϲθαι προηιρεῖτο. προελθὼν δ' ἀπὸ τῆϲ νεὼϲ καὶ μανείϲ, ὑπὸ τῶν ἐντοπίων ἅμα τῶι φίλωι ϲυλληφθεὶϲ ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖϲ ἐθιϲμόν, ὅπωϲ τοῦ τῆϲ Ἀρτέμιδοϲ ἱεροῦ ϲφάγιον γένωνται. τοὺϲ γὰρ καταπλεύϲανταϲ ξένουϲ ἀπέϲφαττον.

ἡ μὲν ϲκηνὴ τοῦ δράματοϲ ὑπόκειται ἐν Ταύροιϲ τῆϲ Ϲκυθίαϲ· ὁ δὲ χορὸϲ ϲυνέϲτηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆϲ Ἰφιγενείαϲ. προλογίζει δὲ Ἰφιγένεια.

τὰ τοῦ δράματοϲ πρόϲωπα· Ἰφιγένεια, Ὀρέϲτηϲ, Πυλάδηϲ, χορόϲ, βουκόλοϲ, Θόαϲ, ἄγγελοϲ, Ἀθηνᾶ [Ἀπόλλων].